κότας ἀποκτείνειν. ὥς τε μηδ' ἐν ------ πλεονάζον- A ται δὲ τῇ ἀμφιβολίᾳ. λέγει γάρ, ἐάν τις τινὰ τῶν τοῖς τυράννοις προσηκόντων ἀποκτείνῃ, τάλαντον λήψεται. οἷον γνήσιον. τέκνον. ἀδελφόν. τοὺς συνωμοσίους καὶ συμπράξαντας τῇ τυραννίδι.

Bisetus. Ἀνειπεῖν] ἀνακηρύττειν, ἀναγορεύειν. Σ.

Σχόλια. Τὸν Στρούθιον.] ἄνω εἶπεν ἐκ τῶν ὀρνέων. B Στρούθιον δὲ εἶπεν, ὡς Μήλιον. διὸ καὶ οὕτω προενεκτέον. συνείρων δὲ εἰς ὁρμαθὸν συντιθείς. Σπίνους.] εἶδος ὀρνέου. τεία δὲ αὐτοὺς λυπεῖ, ὅτι θηρεύει. ὅτι πωλεῖ. ὅτι ζ τοῦ ὀβολοῦ ὡς εὐτελίζων αὐτούς. Τοῖς τε κοψίχοισιν] οἱ κόψιχοι γὰρ ᾠοτοκοῦντες, κεντοῦσι τὰ ᾠά. οἱ οὖν ὀρνιθοθῆραι πτερὰ αὐτοῖς ἐμβάλλουσι πρὸς τὸ ἀμβλῦναι τὰ ῥάμφη τῇ μαλακότητι τῶν πτερῶν. ἢ ἵνα μὴ κορύζωσιν, ἢ μετὰ τὸ σφάξαι πτερὰ ἐπιβάλλουσιν. ὥστε ἐξ αὐτῶν αὐτοὺς κρεμαμένους, ὁρᾶσθαι πᾶσιν. ἐμφαντικὸν δὲ πλήθους, τὸ ἐγχεῖ. βιαίως δὲ τὸ ἐγχεῖ, εἴροντες γὰρ διὰ τῶν ῥινῶν, καὶ κρεμοῦντες ἐπώλουν.

Κἀπαναγκάζει παλεύειν, δεδεμένας ἐν δικτύῳ.
Ταῦτα βουλόμεσθ' ἀνειπεῖν. κεἴ τις ὄρνιθας τρέφει,
Εἰργμένους ὑμῶν ἐν αὐλῇ, φράζομεν μεθιέναι.
Ἢν δὲ μὴ πείθησθε, συλληφθέντες ὑπὸ τῶν ὀρνέων, C
Αὖθις ὑμεῖς αὖ παρ' ἡμῖν δεδεμένοι παλεύσετε.

*Et cogit aucupari ligatas in rete.*
*Hæc volumus clamare, & si quis aues nutrit,*
*Impeditos vestrûm in aula, dicimus dimittere.*
*Si autem non persuademini concepti ab auibus,*
*Rursus vos iterum à nobis ligati, aucupabimini.*

Σχόλια Παλεύειν] θηρεύειν. προκαλεῖσθαι. εἰώθασιν ἐκτυφλοῦντές τινα τῶν ὀρνέων ἱστάναι ἐν δικτύῳ, ὅπως τῇ φωνῇ προσκαλοῖτο τὰ ὁμοιογενῆ. καὶ τοῦτο γλωσσηματικὸν παλεύειν ἔλεγον. ἄλλως. θηρεύειν. προκαλεῖσθαι βοσκόμενα οὐ περὶ τῶν κοψίχων δὲ τοῦτο. ἐπεὶ δεδεμένους ἂν εἶπεν. ἀλλὰ μετέβη ἐπὶ περιστεράς, ἢ φάττας.

---

## ΑΝΤΩΔΗ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗ κώλων ιδ'.

Χο. Εὐδαιμον φῦλον πτηνῶν
Οἰωνῶν, οἳ χειμῶνος μὲν
Χλαίνας οὐκ ἀμπισχνοῦνται.
Οὐδ' αὖ θερμὴ πνίγους ἡμᾶς
Ἀκτὶς τηλαυγὴς θάλπει.
Ἀλλ' ἀνθηρῶν λειμώνων
Φύλλων ἐν κόλποις Ἐνναίω.
Ἡνίκ' ἂν ὁ θεσπέσιος ὀξὺ μελὴς ἀχέτας,
Θάλπεσι μεσημβρινοῖς ὑφ' ἡλίῳ μανεὶς βοᾷ.
Χειμάζω δ' ἐν κοίλοις ἄντροις E
Νύμφαις οὐρείαις ξυμπαίζων.
Ἠρινά τε βοσκόμεθα παρθένια
Λευκότροφα μύρτα Χαρί-
Των τε κηπεύματα.

## Recantatio et reversio membrorum quatuordecim.

D CHO. *Felix tribus volatilium*
*Auium, quæ hyeme quidem*
*Chlænas non induuntur.*
*Neque rursus calor feruoris nos*
*Radius longè splendens calefacit,*
*Sed floridorum pratorum,*
*Foliorum in sinibus Ennæi,*
*Quando diuina acutè canens cicada,*
*Caloribus meridianus à sole furens clamat.*
*Hyeme autem in concauis speluncis,*
*Nymphis montanis colludens,*
*Vernáque pascimur virginalia,*
*Alba nutrimento myrta, Gra-*
*Tiarúmque fructus.*

Σχόλια. Εὐδαιμον φῦλον] ἡ ἀντῳδὴ καὶ ἀντιστροφή, ὁμοία ἐστὶ τῇ ᾠδῇ καὶ στροφῇ. καὶ αὕτη γὰρ κώλων καὶ στίχων ἐστὶ ιδ. καὶ τὰ μὲν ἔχει δακτυλικὰ ἰσόμετρα τοῖς ἐκείνοις, τὰ δὲ παιωνικὰ ἐπιμεμιγμένα κρητικοῖς. ἐπὶ τῷ τέλει αἱ συνήθεις δύο διπλαῖ ἔξω νενευκυῖαι. ἐν σχήματι δὲ εἴρηται ὁ λόγος. εὐδαιμον φῦλον ὁ χειμῶνος. πρὸς γὰρ τὸ σημαινόμενον τοῦ φύλου πληθυντικὸν ὂν ἔφη τὸ οἵ. Οὐδ' αὖ θερμή.] τινὲς τοῦ πνίγους κατ' ἐνικὴν φασιν. ἵνα ᾖ οὐδὲ θέρους θερμασία ἐπίκειται ἡμῖν. Φύλλων ἐν κόλποις.] ὡσεὶ ἔλεγεν ὑπὸ τὰ φύλλα.

Bisetus. Ἀχέτας] δωρικῶς, ἀντὶ τοῦ ἠχέτης. Σ. ἀχέτας, οὐκ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον τέττιγος. ὥσπερ καὶ ὁ ἀκανθίας, ὑπὸ τοῦ ἠχεῖν ἐν ἀκάνθαις. νῦν μέντοι τὸ ἐπίθετον ἀντὶ τοῦ ὀνόματος κυρίου τοῦ τέττιγος λαμβάνεται κατ' ἀντονομασίαν. ὥσπερ καὶ Ὀλύμπιος, ἀντὶ τοῦ ὁ Ζεύς. κατ' ἐξοχὴν δέ τινα ὁ τέττιξ ἠχέτης καλεῖται διὰ τὸν ἦχον, F ὃν ἐν θέρους ὥρᾳ καθ' ἡμέραν, καὶ νύκτωρ ποιεῖται.

Σχόλια. Ὑφ' ἡλίῳ μανείς.] τέρπεται γὰρ καὶ ἐπιμαίνεται τῷ ἡλίῳ ὁ τέττιξ.

Bisetus. Γράφεται καὶ μιᾷ λέξει, ὑφηλιομανής.

Σχόλια. Παρθένια.] διὰ τὸ ἐπιμελῶς τὰς γυναῖκας καὶ τὰς παρθένους τὰ μύρτα ἐσθίειν. λευκότροφα δέ, ἀντὶ τοῦ λευκὰ καὶ τρυφερά. τοιαῦτα γάρ εἰσι μήπω πεπανθέντα.

---

## ΑΝΤΕΠΙΡΡΗΜΑ στίχων ις'. G

Χο. Τοῖς κριταῖς εἰπεῖν τι βουλόμεσθα, τῆς νίκης πέρι.
Οἷς ἀγάθ' ἢν κρίνωσιν ἡμᾶς, πᾶσιν αὐτοῖς δώσομεν,

## In adverbium versuum sexdecim.

CHO. *Iudicibus dicere aliquid volumus victoriam circa,*
*Quibus bona si iudicent, nos omnibus ipsis dabimus,*